τὸ εἶναι τῶν πραγμάτων ὃ ἔχουσιν ἐν τῷ Λόγῳ — διχῶς γὰρ οὕτω τὸ εἶναι τῶν ὄντων γινώσκουσιν —, ἡ αὐτή ἐστιν ἡ ἑσπερινὴ τῇ ἑωθινῇ.

Ἰστέον δὲ ὅτι Αὐγουστῖνος ταῖς ἓξ ἡμέραις τῆς Γενέσεως οὐ τὰς εἰωθυίας ταύτας ἡμέρας νοεῖ διὰ τὸ τὸν ἥλιον τῇ τετάρτῃ ἡμέρᾳ γενέσθαι, (φησίν), ἀλλὰ τὴν ἀγγελικὴν γνῶσιν περὶ τῶν ἓξ γενῶν τοῦ ὄντος, τὴν δὲ μονάδα τῆς ἡμέρας λαμβάνει κατὰ τὴν τοῦ γνωστοῦ πράγματος μονάδα, ἥτις διαφέροις γνώσεσι γινώσκεσθαι δύναται.

## LIX. — Περὶ τῆς ἀγγελικῆς θελήσεως. f. 228

1. Ὅτι ἔστιν ἐν ἀγγέλοις θέλησις. Ὡς γὰρ Αὐγουστίνῳ δοκεῖ ἐν τετάρτῳ περὶ Τριάδος, ἡ τῆς θείας Τριάδος εἰκὼν εὑρίσκεται ἐν τῷ νῷ κατά τε τὴν μνήμην, τὴν νόησιν καὶ τὴν βούλησιν. Εἰ οὖν ἐν τῷ ἀνθρωπίνῳ, καὶ ἐν τῷ ἀγγελικῷ διὰ τὸ καὶ αὐτὸν δεκτικὸν εἶναι τοῦ Θεοῦ. Ἰστέον γὰρ ὡς, ἐπεὶ ἐκ τῆς θείας θελήσεως πάντα προΐασιν, πάντα κατὰ τὸν αὐτοῖς οἰκεῖον τρόπον πρὸς τἀγαθὸν δι' ἐφέσεως ῥέπουσιν, ἀλλὰ διαφόρως· τινὰ μὲν γάρ, μόνῃ τῇ φυσικῇ σχέσει, ἄνευ γνώσεως, ὡς τὰ φυτὰ καὶ τὰ ἄψυχα σώματα, καὶ αὕτη ἡ ῥοπὴ φυσικὴ ἔφεσις λέγεται· ἔνια δὲ καὶ μετὰ γνώσεως, οὐ μὴν αὐτὸν τὸν τοῦ ἀγαθοῦ λόγον γινώσκοντα, ἀλλά τι μερικὸν ἀγαθόν, καὶ ἡ τοιαύτη ῥοπὴ αἰσθητικὴ ἔφεσις ὀνομάζεται· ἄλλα δέ, μετὰ τοῦ γινώσκειν αὐτὸν τὸν τοῦ ἀγαθοῦ λόγον, καὶ τοῦτ' ἔστι τοῦ νοῦ ἴδιον, καὶ αὕτη ἐστὶν ἡ νοερὰ ἔφεσις, ἐπὶ τἀγαθὸν τελεία οὖσα ῥοπὴ ὡς ὑφ' ἑαυτῆς καὶ εἰς τὸ καθόλου ῥέπουσα ἀγαθόν. Αὕτη τοίνυν ἡ πρὸς τὸ ἀγαθὸν καθόλου ῥοπὴ θέλησις λέγεται, ἢ ἐν ἀγγέλοις ἐστίν, ἅτε διὰ τοῦ νοῦ αὐτὸν εἰδόσι τὸν καθόλου λόγον τοῦ ἀγαθοῦ.

2. Ὅτι ἐν τοῖς ἀγγέλοις ἡ θέλησις διαφέρει τοῦ νοῦ καὶ τῆς φύσεως. Ἐκεῖ γὰρ μόνον ταὐτόν ἐστιν ἡ οὐσία τῇ θελήσει, ὅπου παντάπασι τὸ ἀγαθὸν ἐν τῷ εἶναι τῆς θελήσεως περιέχεται, ὥσπερ ἐν τῷ Θεῷ, ὃς οὐδὲν ἄλλο θέλει ἔξω ἑαυτοῦ, καὶ τὰ ἄλλα θέλει τῷ λόγῳ τῆς ἰδίας ἀγαθότητος, ὅπερ ἀδύνατον περί τινος κτίσματος λέγεσθαι διὰ τὸ ἄπειρον ἀγαθὸν ἔξω τῆς οὐσίας τῶν κτισμάτων εἶναι. Οὐ μόνον δὲ τῆς φύσεως διαφέρει ἡ θέλησις, ἀλλὰ καὶ τοῦ νοῦ ἔν τε ἀγγέλῳ καὶ ἐν ἀνθρώπῳ· τὸ γὰρ γνωστὸν ἐστιν ἐν τῷ γινώσκοντι, ἡ δὲ θέλησις ἐπὶ τὸ ἐξωτερικὸν φέρεται. Ἄλλης δὲ δυνάμεως ἐστὶν ἔχειν ἐν ἑαυτῷ ὅπερ ἐστὶν ἔξω ἑαυτοῦ, καὶ αὐτὸ εἴς τι ἐξωτερικὸν φέρεσθαι, καὶ διὰ τοῦτο ἐν τοῖς κτίσμασιν ἄλλο ὁ νοῦς καὶ ἡ βούλησις, ἀλλ' οὐκ ἐν τῷ Θεῷ, ὃς ἔχει τὸ καθόλου καὶ τὸ ὂν καὶ τὸ ἀγαθὸν ἐν ἑαυτῷ, καὶ διὰ τοῦτο ἡ βούλησις καὶ ὁ νοῦς καὶ ἡ οὐσία αὐτοῦ ἕν εἰσιν.

3. Ὅτι ἔστιν ἐν αὐτοῖς αὐτεξούσιον, εἴ γε καὶ ἐν ἀνθρώποις. Οὔτε γὰρ ὑφ' ἑτέρων κινοῦνται καὶ οὐ κρίσει οἰκείᾳ, ὡς τὸ βέλος ὑπὸ τοῦ τοξότου, οὔτε κρίσει μὴ ἐλευθέρᾳ, ὡς τὸ πρόβατον φεύγει τὸν λύκον



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φυσικῶς, ἀλλ' ἐλευθέρᾳ κρίσει ἐνεργοῦσιν, εἰδότες τὸν καθόλου λόγον τοῦ
f. 228v ἀγαθοῦ, ἐξ οὗ δύνανται περὶ παντὸς κρίνειν. | Ἔστι δὲ ἐν αὐτοῖς ὑπεροχικώτερον τὸ αὐτεξούσιον ἢ ἐν ἀνθρώποις, ὥσπερ καὶ ὁ νοῦς· αἱροῦνται γὰρ οἱ ἄγγελοι οὐ ζητοῦντες μετὰ τῆς ἐν τῇ βουλῇ ἀποφάσεως, ἀλλ' ἀθρόᾳ τοῦ ἀγαθοῦ καταλήψει· καὶ ᾗ μὲν σημαίνει τὸ αὐτεξούσιον ἀναίρεσιν πάσης ἀνάγκης, ἐν πᾶσιν ὁμοίως ἐστὶ τοῖς ἀγγέλοις, ἁπλῶς δὲ βέλτιόν ἐστιν ἐν τοῖς ἀνωτέρω ἀγγέλοις, ὡς καὶ ἡ τοῦ νοῦ κρίσις.

4. Ὅτι οὐκ ἔστιν ἐν αὐτοῖς θυμικὸν καὶ ἐπιθυμητικόν. Ταῦτα γὰρ ἐν τῷ αἰσθητικῷ μέρει εἰσίν, ὅπερ οὐκ ἔστιν ἐν ἀγγέλοις, ἐν οἷς νοερὰ μόνον ἐστὶν ἔφεσις, τοῦ καθόλου οὖσα ἀγαθοῦ, οὐχ ὡς ἡ αἴσθησις τοῦ μερικοῦ. Λέγονται δὲ περὶ τῶν ἀγγέλων θυμὸς καὶ ἐπιθυμία, καὶ τῶν δαιμόνων, μεταφορικῶς, ὡς καὶ ἡ ὀργὴ ἐνίοτε ἀποδίδοται τῷ Θεῷ διὰ τὴν τοῦ ἀποτελέσματος ὁμοιότητα. Καὶ ἡ ἀγάπη καὶ ἡ χαρὰ περὶ αὐτῶν λέγεται, ἀλλ' οὐχ ὡς πάθη, ὡς ἁπλαῖ μέντοι ἐνέργειαι τῆς νοερᾶς αὐτῶν θελήσεως, καθὸ ἀγαπᾶν μέν ἐστι τὸ θέλειν τινὶ ἀγαθόν· χαίρειν δέ, τὸ ἠρεμεῖν τὴν θέλησιν ἔν τινι ἀγαθῷ παρόντι. Ὁμοίως καὶ ἡ σωφροσύνη αὐτοῖς ἀποδίδοται ἐν τῇ Γραφῇ τῷ ἐρρυθμισμένην τὴν αὐτῶν θέλησιν παριστᾶν κατὰ τὸν κανόνα τῆς θείας θελήσεως· καὶ ἀνδρία, καθὸ τὴν θείαν βούλησιν κατεσπουδασμένως ἀποπληροῦσιν τῇ θελήσει, οὐ τῷ θυμικῷ ἢ ἐπιθυμητικῷ.

## LX. — Περὶ τῆς ἐνεργείας τῆς θελήσεως ἐν αὐτοῖς, ἥ ἐστιν ἀγάπη ἢ ἔρως.

1. Ὅτι ἔστιν ἐν τῷ ἀγγέλῳ ἔρως καὶ ἀγάπη φυσική. Ἡ γὰρ ἀγάπη τῇ γνώσει ἕπεται· οὐδὲν γὰρ ἀγαπᾶται εἰ μὴ τὸ γνωστόν. Ἀλλ' ἐν τοῖς ἀγγέλοις φυσικὴ γνῶσίς ἐστιν, ὥστε καὶ φυσικὴ ἀγάπη, καὶ ἐπειδὴ νοεραί εἰσι φύσεις, καὶ ἡ ἀγάπη αὐτῶν νοερά ἐστιν.

2. Ὅτι καὶ αἱρετή ἐστιν ἐν αὐτοῖς ἀγάπη, ἥτις τῶν πρὸς τὸ τέλος ἐστίν, ἔμμισθος οὖσα· διὰ γὰρ τὰ φυσικὰ μόνα οὔτε μισθοὺς οὔτε κολάσεις λαμβάνομεν· ἔστι μέντοι γε ἡ φυσική, ἀρχὴ τῆς αἱρετῆς.

3. Ὅτι ὁ ἄγγελος ἀγαπᾷ ἑαυτὸν ἀγάπῃ φυσικῇ καὶ αἱρετῇ· ἐφίεται γὰρ τοῦ τυχεῖν τοῦ οἰκείου ἀγαθοῦ φύσει, ὡς τοῦ ἄνω τόπου τὸ πῦρ· ἐφίεται δέ τινος ἀγαθοῦ καὶ καθ' αἵρεσιν, ὃ ἑαυτῷ νομίζει ἀγαθόν, ἀγαθὸν ὂν ὡς πρὸς τὸ τυχεῖν τῆς τελειότητος φέρον.

4. Ὅτι εἷς ἄγγελος ἀγαπᾷ ἕτερον ὥσπερ ἑαυτὸν ἀγάπῃ φυσικῇ, καθόσον κατὰ τὴν φύσιν αὐτῷ κοινωνεῖ, ἢ καθόσον ἔν τισιν ἄλλοις αὐτῷ συνέρχεται. Τὸ δὲ ὥσπερ οὐ κατ' ἰσότητα νοητέον ἀλλὰ καθ' ὁμοιότητα·
f. 229 ἐπεὶ γὰρ ἡ φυσικὴ | ἀγάπη ἐπὶ τῆς φυσικῆς ἑνότητος ἵδρυται, τὸ ἧττον

---

22 En marge, en rouge: *Περὶ τῆς ἀγάπης τῶν ἀγγέλων* A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἓν μετ' αὐτοῦ φύσει ἧττον ἀγαπᾷ· ὅθεν φύσει πλέον ἀγαπᾷ τὸ ἓν ἀριθμῷ, οἷον ἑαυτόν, ἢ τὸ ἓν τῷ εἴδει ἢ γένει. Ἀλλὰ καθ' ὁμοιότητα φυσικῶς ἀγαπᾷ τῷ ὥσπερ ἑαυτῷ βούλεσθαι ἀγαθόν· τοῦτο γὰρ τὸ ἀγαπᾶν, οὕτω βούλεσθαι καὶ τῷ ἄλλῳ.

5. Ὅτι ὁ ἄγγελος φυσικῇ ἀγάπῃ πλέον ἑαυτοῦ τὸν Θεὸν ἀγαπᾷ· αἱ γὰρ ἠθικαὶ ἐντολαὶ τοῦ φυσικοῦ εἰσι νόμου· ἡ δ' ἐντολὴ τοῦ πλέον ἑαυτοῦ τὸν Θεὸν ἀγαπᾶν τοῦ θείου νόμου ἠθική ἐστιν ἐντολή· καὶ ἐκ τοῦ τῆς φύσεως ἄρα νόμου ἐστίν. Ἐπεὶ γὰρ τὸ καθόλου ἀγαθὸν αὐτός ἐστιν ὁ Θεός, ὑφ' ὃ καὶ ἄγγελος καὶ ἄνθρωπος καὶ πᾶν ὂν περιέχεται — πᾶσα γὰρ κτίσις κατὰ τοῦτ' ἔστι καθόσον ἐστὶν ὁμοιότης τις τοῦ Θεοῦ ἐν αὐτῇ —, ἀκολούθως φυσικῇ ἀγάπῃ ὅ τε ἄγγελος καὶ ὁ ἄνθρωπος πλέον ἀγαπᾷ τὸν Θεὸν ἑαυτοῦ· ἄλλως γὰρ εἴπετ' ἂν τὴν φυσικὴν ἀγάπην διεστραμμένην εἶναι καὶ μὴ τελειοῦσθαι τῇ κατ' ἐντολὴν ἀγάπῃ, ἀλλὰ μόνον ἀναιρεῖσθαι. Ἀγαπᾷ δὲ ὁ ἄγγελος καὶ ὁ ἄνθρωπος τὸν Θεὸν οὐχ ἑαυτοῦ μόνον εἵνεκα, ἀλλὰ καὶ τῇ πρὸς τὸ ἀγαθὸν τοῦ ὅλου εἴδους ἐπιστροφῇ· οὐδὲ ταύτῃ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ Θεοῦ εἵνεκα, ὡς ἁπλῶς ἀγαθοῦ, οὗ πάντα ἤρτηνται. Καθόσον δέ ἐστι καὶ ἀγαθὸν μακαρίους πάντας ποιοῦν φύσει, ὑπερφυεῖ μακαριότητι ἀγαπᾶται καὶ τῇ κατ' ἀρετὴν ἀγάπῃ.

Καὶ ἁπλῶς, ὅτι ταὐτόν ἐστιν ἐν τῷ Θεῷ ἥ τε οὐσία καὶ τὸ κοινὸν ἀγαθὸν καὶ καθόλου, πάντες οἱ τὴν θείαν οὐσίαν ὁρῶντες, καὶ ὡς τοιοῦτον αὐτὴν ἀγαθὸν οὖσαν, φύσει ἀγαπῶσιν.

## LXI. — Περὶ τῆς εἰς τὸ εἶναι τῶν ἀγγέλων παραγωγῆς.

1. Ὅτι οἱ ἄγγελοι ἐκ τοῦ Θεοῦ ἐδημιουργήθησαν, ὡς ἐν Ψαλμοῖς· „Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ, ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν". Εἰ γὰρ μόνος ὁ Θεός ἐστι τὸ εἶναι αὐτοῦ, ἐν δὲ τοῖς ἄλλοις πᾶσιν, ὡς εἴρηται, διαφέρει ἡ οὐσία καὶ τὸ εἶναι, μόνος ὁ Θεὸς ἔστι κατὰ τὴν οὐσίαν αὐτοῦ, τὰ δὲ ἄλλα κατὰ μετοχήν· πᾶν δὲ τὸ κατὰ μετοχὴν αἴτιον ἔχει τὸ κατ' οὐσίαν, ὥσπερ τὸ πυρῶδες εἶναι, τὸ πῦρ.

2. Ὅτι οὐκ ἐξ ἀϊδίου ὁ Θεὸς τοὺς ἀγγέλους παρήγαγεν. Μόνος γὰρ ὁ τρισυπόστατος Θεὸς ἐξ ἀϊδίου ἔστιν, ὡς ἡ καθολικὴ πίστις φρονεῖ, τὰ δὲ ὄντα πάντα αὐτὸς ἐκ τοῦ μηδενὸς παρήγαγε, τουτέστι μετὰ τὸ μὴ εἶναι.

Εἰ δὲ καὶ ὑπὲρ τὸν χρόνον λέγεται | ὁ ἄγγελος, ἀλλὰ τὸν χρόνον f. 229v ὅς ἐστιν ἀριθμὸς τῆς κινήσεως τοῦ οὐρανοῦ διὰ τὸ εἶναι τὸν ἄγγελον κρείττω πάσης κινήσεως τῆς σωματικῆς φύσεως, οὐ μὴν τὸν χρόνον ὅς ἐστιν ἀριθμὸς τῆς διαδοχῆς τοῦ εἶναι αὐτοῦ μετὰ τὸ μὴ εἶναι, ἢ ἀριθμὸς τοῦ ἐφεξῆς ἐν ταῖς αὐτοῦ ἐνεργείαις. Εἰ δὲ καὶ ἄφθαρτοι οἱ ἄγγελοι καὶ αἱ ψυχαί, διὰ τὸ ἔχειν φύσιν δεκτικὴν ἀληθείας τοῦτ' ἔλαβον, οὐκ ἐξ ἀϊδίου δὲ τὴν φύσιν ἔχουσι ταύτην, ἀλλὰ δέδοται αὐτοῖς ἐκ Θεοῦ, ὅτε ἠθέλησεν.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

3. Ὅτι οἱ ἄγγελοι οὐκ ἐκτίσθησαν πρὸ τοῦ σωματικοῦ κόσμου. Εἰσὶ γὰρ μέρος τι τοῦ παντός, καὶ οὐκ ἄλλο ἓν πᾶν συνιστῶσι καθ' ἑαυτούς, ἀλλ' αὐτοί τε καὶ ἡ σωματικὴ κτίσις εἰς σύστασιν ἑνὸς ὅλου συνίασιν, ὃ δῆλον ἐκ τῆς τάξεως τῶν κτισμάτων ἑνὸς πρὸς ἄλλο. Ἡ γὰρ τῶν ὄντων πρὸς ἄλληλα τάξις τὸ τοῦ ὅλου ἐστὶν ἀγαθόν· οὐδὲν γὰρ τέλειον μέρος τοῦ ἰδίου ὅλου κεχώρισται. Οὐκ ἄρα ἔνδοξον τὸν Θεόν, οὗ τὰ ἔργα τέλεια, ὡς ἐν τῷ Δευτερονομίῳ λέγεται, ἰδίᾳ τὴν ἀγγελικὴν φύσιν πρὸ πάσης κτίσεως δημιουργῆσαι, εἰ καὶ τοὐναντίον οὐχ ὡς αἱρετικὸν προσήκει λογίζεσθαι, μάλιστα, διὰ τὴν τοῦ Ναζιανζηνοῦ Γρηγορίου ἀπόφασιν, οὗ τοσοῦτόν ἐστιν ἐν τῇ χριστιανικῇ διδασκαλίᾳ τὸ ἀξίωμα, ὡς μηδέποτ' ἂν τολμῆσαί τινα μέμψιν τοῖς αὐτοῦ λόγοις ἐπενεγκεῖν, ὥσπερ οὐδὲ ταῖς τοῦ Ἀθανασίου διδασκαλίαις.

4. Ἐπεὶ δὲ ἐκ τῶν σωματικῶν καὶ ἀσωμάτων κτισμάτων ἓν πᾶν συνίσταται μετά τινος αὐτῶν τάξεως, ἔδει τὰς ἀσωμάτους οὐσίας κτισθῆναι οὕτως, ὥστε τάξιν τινὰ ἔχειν πρὸς τὴν σωματικὴν κτίσιν καὶ ταύτης τὴν ἡγεμονίαν ἔχειν. Ὅθεν εἰκὸς ἐν τῷ ἄκρῳ τόπῳ κτισθῆναι τοὺς ἀγγέλους, ὡς ἂν ὅλης προκαθημένους τῆς σωματικῆς φύσεως, εἴτε πύρινος οὐρανὸς ὁ τόπος ἐκεῖνος καλοῖτο, ἢ ὅπως ἂν ὀνομάζοιτο. Εἰ ἐδημιουργήθησαν δὲ ἐν τῷ σωματικῷ τόπῳ, οὐχ ὡς τοῦ σώματος ἠρτημένοι κατὰ τὸ εἶναι αὐτῶν ἢ τὸ γίνεσθαι, ἀλλ' ἵν' ἡ πρὸς τὸν σωματικὸν τόπον αὐτῶν τάξις δειχθῇ, καὶ ὅτι τῇ ἑαυτῶν δυνάμει ἅπτονται τῶν σωμάτων.

Εἰ δὲ ὁ ἁμαρτὼν ἄγγελος εἶπεν· „Ἀναβήσομαι εἰς τὸν οὐρανόν", καὶ τὰ λοιπά, οὐ σωματικὸς οὐρανὸς νοεῖται ἐκεῖ, ἐν ᾧ οὐκ ἦν πω, ἀλλ' ὁ οὐρανὸς τῆς ἁγίας Τριάδος, εἰς ὃν ἀνελθεῖν ἐβουλήθη, τολμήσας τῷ Θεῷ ἐξισωθῆναι τρόπῳ τῷ μετὰ ταῦτα δεχθησομένῳ.

f. 280 LXII. — Περὶ τῆς τῶν ἀγγέλων χάριτος ἢ δόξης.

1. Ὅτι οἱ ἄγγελοι οὐκ ἐν τῇ ἑαυτῶν δημιουργίᾳ μακάριοι ἦσαν εὐθύς. Ἐν γὰρ τῷ τῆς μακαριότητος λόγῳ περιέχεται ἡ ἠρεμία, ἢ ἡ ἐν τῷ ἀγαθῷ βεβαιότης· οἱ δ' ἄγγελοι οὐκ αὐτίκα βέβαιοι ἦσαν ἐν τῷ ἀγαθῷ, ὃ δείκνυται τῷ τινῶν πτώματι.

Ἔτι, ἡ τελειότης τῆς νοερᾶς φύσεως, ἣ τῷ τῆς μακαριότητος ὀνόματι δηλοῦται, διπλῆ· μία μέν, ἧς δύναται τυχεῖν τῇ δυνάμει τῆς ἰδίας φύσεως, ὥσπερ καὶ ἡ ἐνταῦθα γνῶσις τοῦ Θεοῦ καὶ τῶν θείων ἡ δυνατή, καὶ Ἀριστοτέλει καὶ χριστιανοῖς εὐδαιμονία ἀνθρωπίνη καλεῖται· ἑτέρα δέ, ἣν ἐν τῷ μέλλοντι προσδοκῶμεν ὑψηλοτέραν, ᾗ ὀψόμεθα αὐτὸν καθὼς ἐστιν, ὑπερβαίνουσαν παντὸς νοῦ δύναμιν. Τῇ μὲν οὖν πρώτῃ μακάριος ἐδημιουργήθη ὁ ἄγγελος, λαβὼν καὶ ἔχων τὴν τοιαύτην τελειότητα οὐ

22 Is. 14, 13

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κινήσει μεταβατικῇ, ὡς ὁ ἄνθρωπος, ἀλλ' αὐτίκα παροῦσαν διὰ τὴν ἀξίαν τῆς φύσεως· τῇ δὲ δευτέρᾳ ὕστερον γέγονε μακάριος, οὐ τῆς φύσεως οὖσαν, ἀλλ' ὡς τέλος τῆς φύσεως ἐπάθλου λόγῳ λαβών.

2. Ὅτι ἐδεήθησαν χάριτος πρὸς τὸ ἐπιστραφῆναι εἰς τὸν Θεόν. Εἴ τι γάρ ἐστιν ὑπὲρ φύσιν, ἀδύνατον ἐπ' ἐκεῖνο τὴν θέλησιν φέρεσθαι, μὴ ὑπό τινος ὑπερφυοῦς βοηθουμένην ἀρχῆς, ὥσπερ τὸ πῦρ φυσικὴν ἔχει ῥοπὴν πρὸς τὸ θερμαίνειν καὶ γεννᾶν πῦρ· τὸ δὲ γεννᾶν σάρκα, ὑπὲρ τὴν φυσικὴν αὐτοῦ δύναμιν, ὅθεν πρὸς τοῦτο οὐδεμίαν φυσικὴν ἔχει ῥοπήν, εἰ μὴ καθόσον κινεῖται ὡς ὄργανον ὑπὸ τῆς θρεπτικῆς ψυχῆς. Τὸ δὲ κατ' οὐσίαν ὁρᾶν τὸν Θεὸν ἐν ᾧ ἡ μακαριότης τοῦ ἀγγέλου, ὑπὲρ τὴν φύσιν παντὸς νοῦ κτιστοῦ· Ὅθεν οὐκ ἔχει θελήσεως κίνησιν τεταγμένην φύσει πρὸς αὐτό, μὴ κινούμενος ὑπό τινος ὑπὲρ τὴν φύσιν κινητικοῦ· τοῦτο δέ, ἡ τῆς θείας βοήθεια χάριτος.

Ἰστέον δὲ ὅτι τὸ ἐπιστρέφεσθαι πρὸς τὴν ἐσχάτην μακαριότητα τῷ μὲν ἀνθρώπῳ δυσχερές, ὡς ὑπερβαῖνον τὴν φύσιν αὐτοῦ, καὶ διὰ τὸ τοῦ σώματος κώλυμα, καὶ διὰ τὸν τῆς ἁμαρτίας μολυσμόν· τῷ δὲ ἀγγέλῳ διὰ μόνον τὸ εἶναι ὑπερφυές· καὶ ὅτι ἡ τῆς θελήσεως κίνησις πρὸς τὸν Θεόν, ἐπιστροφὴ λεγομένη, τριπλῆ ἐστιν· μία δι' ἀγάπης τελείας, ἥ ἐστι τῆς ἤδη ἀπολαυούσης τοῦ Θεοῦ κτίσεως, πρὸς ἣν ζητεῖται συντεταγμένη χάρις· ἄλλη, δι' ἣν ἀξιούμεθα τῆς μακαριότητος, πρὸς ἣν ζητεῖται χάρις καθ' ἕξιν, ἥ ἐστιν ἀρχὴ τοῦ ἀξιωθῆναί τινος· τρίτη, ἑτοιμασία τις πρὸς τὸ λαβεῖν χάριν, πρὸς ἣν ζητεῖται οὐ χάρις καθ' ἕξιν, ἀλλ' ἐνέργεια τοῦ Θεοῦ πρὸς ἑαυτὸν τὴν ψυχὴν ἐπιστρέφοντος, κατὰ τὸ | ἐν τοῖς Θρήνοις· „Ἐπίστρεψον f. 230v ἡμᾶς, Κύριε, καὶ ἐπιστραφησόμεθα".

3. Ὅτι οἱ ἄγγελοι ἐν χάριτι ἐκτίσθησαν, τῇ κεχαρισμένον ποιούσῃ· αὕτη δὲ ἡ χάρις πρὸς τὴν μακαριότητα παραβάλλεται ὡς ὁ σπερματικὸς ἐν τῇ φύσει λόγος πρὸς τὸ φυσικὸν ἀποτέλεσμα· ἔστι δὲ ἡ μὲν δόξα ἐν τοῖς κτιστοῖς τέλος τῆς ἐνεργείας τῆς φύσεως χάριτι βοηθουμένης· ἡ δὲ χάρις οὐχ ὡς τέλος ἐνεργείας ἐστίν — οὐ γάρ ἐστιν ἐξ ἔργων —, ἀλλὰ τοῦ καλῶς ἐνεργεῖν ἀρχή, καὶ διὰ τοῦτο μετὰ τῆς φύσεως τὴν χάριν δοθῆναι ἐχρῆν.

4. Ὅτι οἱ ἄγγελοι ἆθλον ἔλαβον τὴν μακαριότητα. Ἔσχον γὰρ τὴν χάριν πρὸ τοῦ εἶναι μακάριοι, δι' ἧς ὡς τέλους τῆς μακαριότητος ἠξιώθησαν τῇ τῆς θείας ἀγάπης ἐπιστροφῇ διὰ τῆς χάριτος γινομένῃ.

5. Ὅτι εὐθὺς μετὰ μίαν ἐνέργειαν τὴν μακαριότητα ἔσχον· αἴτιον δέ, ὅτι ἡ χάρις τελειοῖ τὴν φύσιν κατὰ τὸν τρόπον αὐτῆς τῆς φύσεως· ἴδιον δὲ τῆς ἀγγελικῆς φύσεως, τὸ τὴν φυσικὴν τελειότητα εὐθὺς ἔχειν ἐν τῇ φύσει· ὥσπερ δὲ κατὰ τὴν φύσιν ὁ ἄγγελος τάξιν ἔχει πρὸς τὴν τελείωσιν, οὕτω καὶ κατὰ τὸ ἔμμισθον, πρὸς τὴν μακαριότητα καὶ τὴν δόξαν· καὶ οὕτως εὐθὺς μετὰ τὴν ἔμμισθον τάξιν ἐν τῷ ἀγγέλῳ ἠκολού-

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

θησε καὶ ἡ μακαριότης. Τὸ δὲ δι' ὅ τις τῆς μακαριότητος ἀξιοῦται, οὐ μόνον ἐν τῷ ἀγγέλῳ ἀλλὰ καὶ τῷ ἀνθρώπῳ διὰ μιᾶς ἐνεργείας δύναται εἶναι, ἐπεὶ δι' ἑκάστης ἐνεργείας ἀγάπῃ μεμορφωμένης τῆς μακαριότητος ἀξιοῦται ὁ ἄνθρωπος. Ὅθεν λείπεται ὡς αὐτίκα μετὰ μίαν ἐνέργειαν ἀγάπῃ μεμορφωμένην ὁ ἄγγελος μακάριος γέγονεν, καὶ οὐ μετὰ πλείους, ὡς ὁ ἄνθρωπος, ᾧ μακροτέρα ὁδὸς δέδοται ἀναλόγως τῇ φύσει αὐτοῦ.

6. Ὅτι κατὰ τὴν ποσότητα τῶν οἰκείων φυσικῶν καὶ τῆς χάριτος ἔτυχον καὶ τῆς δόξης. Ὅ τε γὰρ Θεὸς οὓς ἀγγέλους ὑψηλοτέρας πεποίηκε φύσεως πρὸς μείζω χάριτος δῶρα καὶ μείζω μακαριότητα ἔταξεν, αὐτοί τε οἱ ἄγγελοι, μηδὲν ἔχοντες κώλυμα ἔκ τινος συνημμένου αὐτοῖς, ὡς οἱ ἄνθρωποι τῷ συγκεῖσθαι βραδύτεροι κινοῦνται κατὰ τὸν νοῦν ἢ οὐδὲ κινοῦνται ὅλως, ἐκ τῆς τοῦ αἰσθητοῦ μέρους ῥοπῆς κωλυόμενοι, ἀλλὰ τῇ φύσει ὅλοι κινούμενοι, οἱ μὲν ὑψηλοτέραν ἔχοντες φύσιν καὶ δραστηριώτερον καὶ σφοδρότερον πρὸς τὸν Θεὸν ἐπιστρέφονται, οἱ δὲ ταπεινοτέραν, βραδύτερον· ὃ κἂν τοῖς ἀνθρώποις συμβαίνει, κατὰ τὴν ἐπίτασιν τῆς πρὸς Θεὸν ἐπιστροφῆς τῆς χάριτος αὐτοῖς θεόθεν καὶ τῆς δυνάμεως διδομένης. Καὶ οὕτω δῆλον τοὺς βελτίω φυσικὰ ἔχοντας ἀγγέλους χάριτος καὶ δόξης πλέον ἔχειν.

f. 281 7. Ὅτι ἐν τοῖς ἀγαθοῖς ἀγγέλοις, μετὰ τὸ τυχεῖν τῆς μακαριότητος, ἐναπέμεινεν ἡ φυσικὴ γνῶσις καὶ ἀγάπη. Ἐφόσον γὰρ φύσις τις μένει, μένει καὶ ἡ ταύτης ἐνέργεια· ἡ δὲ μακαριότης οὐκ ἀναιρεῖ τὴν φύσιν, τελειότης οὖσα τῆς φύσεως· οὐκ ἄρα ἀναιρεῖ τὴν φυσικὴν γνῶσίν τε καὶ ἀγάπην. Εἰ δὲ δύο ἐνέργειαι μιᾶς δυνάμεως οὐ δύνανται ἅμα εἶναι, ἀλλὰ τοῦτ' ἀληθές, εἰ μὴ ἀτέρα πρὸς τὴν λοιπὴν τάττοιτο· ἡ δὲ φυσικὴ ἀγάπη καὶ γνῶσις τάττεται πρὸς τὴν τῆς δόξης.

8. Ὅτι οὐ δύναται ἁμαρτάνειν ὁ μακάριος ἄγγελος. Ἡ γὰρ μακαριότης αὐτοῦ ἐν τῷ κατ' οὐσίαν ὁρᾶν τὸν Θεόν ἐστιν· ἡ δὲ τοῦ Θεοῦ οὐσία αὐτὴ ἡ τῆς ἀγαθότητος οὐσία ἐστίν. Ὅθεν ὁ τὸν Θεὸν ὁρῶν ἄγγελος οὕτως ἔχει πρὸς αὐτὸν ὥσπερ ὁ μὴ ὁρῶν αὐτὸν τὸν Θεὸν πρὸς τὸν κοινὸν λόγον τοῦ ἀγαθοῦ· ἀδύνατον δέ τινα θέλειν ἐνεργεῖν τι μὴ τὸ ἀγαθὸν σκοποῦντα, ἢ θέλειν ἀπεστράφθαι τὸ ἀγαθὸν καθόσον τοιοῦτον. Ὁ μακάριος ἄρα ἄγγελος οὐ δύναται ἐνεργεῖν μὴ σκοπῶν τὸν Θεόν· οὕτω δὲ θέλων ἢ ἐνεργῶν οὐ δύναται ἁμαρτεῖν. Οὐκ ἔστι δὲ ἀσθένεια τοῦ αὐτεξουσίου τὸ μὴ δύνασθαι ἁμαρτάνειν· τελειότης μὲν οὖν αὐτοῦ, τὸ τῆς τοῦ τέλους τάξεως φυλαττομένης αἱρεῖσθαι διάφορα, ὡς ἀσθενείας ἐστὶ τὸ ἀποχωροῦντα τῆς τοῦ τέλους τάξεως αἱρεῖσθαί τι, ὅπερ ἐστὶ τὸ ἁμαρτάνειν. Ὅθεν μείζων ἡ τοῦ αὐτεξουσίου ἐλευθερία ἐν ἀγγέλοις, τοῖς μὴ δυναμένοις ἁμαρτάνειν, ἢ ἐν ἡμῖν, οἳ καὶ ἁμαρτάνειν δυνάμεθα.

---

11 *βραδύτεροι* corrigé de *βραδύτερον* A 24 *ἀτέρα* sic A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

9. Ὅτι οἱ μακάριοι ἄγγελοι οὐ προκόπτουσιν ἐν τῇ μακαριότητι. Τοῦτο γὰρ τῇ ἐν τῇ ὁδῷ καταστάσει προσήκει· οἱ δ᾽ ἄγγελοι, οὐχ ὁδοιπόροι, ἀλλ᾽ ἤδη κατειληφότες.

Ἔτι, ἐν τῇ κινήσει ὁ σκοπὸς τοῦ κινοῦντος καὶ κινουμένου, τοῦ τέλους ὤν, ᾧ ἀντίκειται τὸ ἄπειρον, πεπερασμένος καὶ ὡρισμένος ἐστίν· ἡ δὲ λογικὴ κτίσις φύσει ἐφίεται τῆς μακαριότητος, ἣ ἐν τῇ τοῦ Θεοῦ θεωρίᾳ συνίσταται. Οὐ δύναται δὲ τυχεῖν, μὴ ὑπὸ τοῦ Θεοῦ κινουμένη· τὸ ἔσχατον ἄρα τέλος τῆς λογικῆς κτίσεως ὡρισμένον ἐστίν· τοῦτο δέ, ὅσον μὲν κατὰ τὸ ὁρώμενον αὐτό, οὐχ οἷόν τε εἶναι πεπερασμένον· ἡ γὰρ ἄκρα ἀλήθεια κατὰ διαφόρους βαθμοὺς καὶ ἀπείρους δύναται ὑπὸ τῶν μακαρίων ὁρᾶσθαι· κατὰ δὲ τὸν τῆς ὁράσεως τρόπον ἐν ἑκάστῳ μακαρίῳ πεπέρασται· εἰ γὰρ καὶ προάγεται πρὸς τὸ τὴν ἄκραν οὐσίαν ὁρᾶν, ἀλλ᾽ οὐ καὶ πρὸς τὸν ἄκρον τῆς θεωρίας τρόπον, | ὃς τῷ Θεῷ προσήκει μόνῳ. Οὕτω τοίνυν f. 231v ἕκαστον τῶν λογικῶν κτισμάτων ὑπὸ τοῦ Θεοῦ πρὸς τὸ τῆς μακαριότητος τέλος προάγεται, ὥστε καὶ πρὸς ὡρισμένον τινὰ μακαριότητος βαθμὸν ἀφικέσθαι κατὰ τὸν θεῖον προορισμόν, ἀπείρων ὄντων, οὗ τυχὸν οὐ δύναται πρὸς ὑψηλότερον μεταβαίνειν, καὶ ὁ προσειλημμένος βαθμὸς ἑκάστῳ, εἰ καὶ μὴ ἔστιν ἄκρος ἁπλῶς, ἀλλ᾽ ὅσον πρὸς αὐτὸν κατὰ τὸν θεῖον προορισμόν. Δύναται μέντοι αὔξειν ἡ τῶν ἀγγέλων χαρὰ ἐπὶ τῇ σωτηρίᾳ τῶν διὰ τῆς αὐτῶν διακονίας σῳζομένων, καὶ αὕτη ἡ χαρά, ὥσπερ τι κατὰ συμβεβηκὸς ἆθλόν ἐστιν, ὃ δὴ καὶ αὔξεσθαι δύναται μέχρι τῆς ἡμέρας τῆς κρίσεως. Ἀλλ᾽ ἄμεινόν ἐστι λέγειν, ὅτι τὴν χαρὰν ταύτην μᾶλλον ἐκ τῆς ἐν τῇ μακαριότητι δυνάμεως λαμβάνουσιν, οὐχ ὡς ἄθλου ἀξιοῦνται αὐτῆς.

## LXIII. — Περὶ τοῦ ἁμαρτήματος τῶν ἀγγέλων.

1. Ὅτι δύναται ἐν ἀγγέλῳ εἶναι τὸ τῆς ἁμαρτίας κακόν. Τὸ γὰρ ἁμαρτάνειν οὐδέν ἐστιν ἄλλο ἢ τὸ τῆς ὀφειλομένης κατ᾽ ἐνέργειαν εὐθύτητος ἀποκλίνειν, εἴτ᾽ ἐν τοῖς φυσικοῖς, εἴτ᾽ ἐν τοῖς ἠθικοῖς, εἴτ᾽ ἐν τοῖς τεχνητοῖς· μόνην δὲ ἐκείνην τὴν ἐνέργειαν τῆς εὐθύτητος ἀποκλίνειν ἀδύνατον, ἧς κανών ἐστιν αὐτὴ ἡ τοῦ ἐνεργοῦντος δύναμις· μόνη δὲ ἡ θεία βούλησις κανών ἐστι τῆς ἰδίας ἐνεργείας διὰ τὸ μὴ τάττεσθαι πρός τι τέλος ὑψηλότερον, πᾶσα δὲ ἄλλη κτιστὴ βούλησις ὑπὸ τῆς θείας βουλήσεως κανονίζεται, πρὸς ἣν ἀνήκει τὸ ἔσχατον τέλος, ὥστε καὶ τὴν εὐθύτητα τῆς ἰδίας ἐνεργείας οὐκ ἐν ἑαυτῇ ἔχει, καὶ διὰ τοῦτο δύναται ἀποκλίνειν, αἱρουμένη τι ἄνευ τῆς τάξεως τῆς πρὸς τὸν κανόνα.

Ἰστέον δὲ ὅτι ἕνα μὲν τρόπον ἁμαρτάνει τις φύσις ἔχουσα τὸ αὐτεξούσιον τῷ αἱρεῖσθαι κακόν τι δι᾽ ἄγνοιαν ἢ ἀπάτην, ἣ συμβαίνει οὐκ ἐν τῷ ἀγνοεῖν τὸ καθόλου, ἀλλ᾽ ἐν τῷ αἱρεῖσθαι τὸ νῦν καὶ τὸ μερικὸν διὰ τὴν τοῦ πάθους ῥοπὴν ἢ τῆς ἕξεως ὡς ἀγαθόν τι. Οὕτω δὲ ἀδύνατον

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν ἄγγελον, τὸν μηδὲν ἔχοντα πάθος ᾧ δεσμοῖτο ἂν ὁ λόγος καὶ ὁ νοῦς, ἁμαρτάνειν· ἕτερον δὲ τρόπον, τῷ αἱρεῖσθαί τι ἀγαθὸν μὲν καθ' αὑτό, ἀλλ' οὐ μετὰ τῆς ὀφειλομένης τάξεως πρὸς τὸ μέτρον ἢ τὸν κανόνα, οὕτως ὥστε τὴν ἁμαρτίαν πρὸς τὴν αἰτίαν τῆς αἱρέσεως ἀνήκειν· οὐ τὸ αἱρεθὲν πρᾶγμα, ὃ οὐκ ἀγνοίας ἐστίν, ἀλλ' ἀπουσία θεωρίας τῶν θεωρητέων· οὕτως ὁ ἄγγελος ἥμαρτεν τῷ αὐτεξουσίῳ, ἐπιστρέφων πρὸς τὸ ἴδιον ἀγαθὸν ἄνευ
f. 232 | τῆς τάξεως τῆς πρὸς τὸν κανόνα τῆς θελήσεως τοῦ Θεοῦ.

2. Ὅτι ἐν ἀγγέλοις μόνη ἡ τῆς ὑπερηφανίας καὶ τοῦ φθόνου ἁμαρτία δύναται εἶναι. Διχῶς γὰρ ἁμάρτημά τι δύναται ἔν τινι εἶναι· ἢ κατ' ἐνοχήν, καὶ οὕτω πάντα τὰ ἁμαρτήματα ἐν τοῖς δαίμοσίν εἰσιν· ἐνάγοντες γὰρ τοὺς ἀνθρώπους εἰς πάντα, καὶ πᾶσιν ἐνέχονται· ἢ κατὰ διάθεσιν, καὶ οὕτως οὐκ εἰσὶν ἐν αὐτοῖς πάντα, ἀλλ' οἷς συμβαίνει προσίσχεσθαι τὴν ἀσώματον φύσιν· πρῶτον μὲν οὖν ἐν τῇ πρὸς τὸ ἀγαθὸν διαθέσει οὐ ταττόμενοι πρὸς τὸν κανόνα τοῦ ὑπερκειμένου ἁμαρτάνουσιν, καὶ τοῦτ' ἔστι τὸ πρῶτον τῆς ὑπερηφανίας ἁμάρτημα· ἔπειτα, τῆς αὐτῆς ἀτάξιας ὄντων τοῦ τε ἐπιτείνεσθαι τὴν διάνοιαν εἴς τι τῶν ἐφετῶν καὶ τοῦ ἀνίεσθαι παρὰ τὸν λόγον, ὁ πονηρὸς ἄγγελος καὶ τῷ τοῦ φθόνου δεδούλευκεν ἁμαρτήματι, ἀχθεσθεὶς τῷ ἀνθρωπίνῳ ἀγαθῷ. Τίκτεται δὲ ὁ φθόνος ἐκ τῆς ὑπερηφανίας εἰκότως· τὸ γὰρ ἄλλου ἀγαθὸν τοῦ οἰκείου ἀγαθοῦ κώλυμα εἶναι νομίζων, οὐκ ἂν τοῦτ' ἔπασχεν, εἰ μὴ μεγαλειότητος ἰδικῆς ἐπεθύμει ἀτάκτως, ἣν παύεσθαι διὰ τῆς ἑτέρου δόξης ἐνόμισεν. Καὶ οὐ μόνον ἄχθεται τῷ ἀγαθῷ τοῦ ἀνθρώπου, ἀλλὰ καὶ τῇ θείᾳ μεγαλειότητι, καθόσον ὁ Θεὸς ταύτῃ χρῆται πρὸς τὴν θείαν δόξαν ἐναντίως τῇ τοῦ διαβόλου βουλήσει. Εἰ δὲ καὶ ἥδεσθαι λέγονται ἐπὶ τοῖς σαρκικοῖς ἁμαρτήμασιν, οὐχ ὡς αὐτοὶ προσισχόμενοι ταῖς σαρκικαῖς ἡδοναῖς, ἀλλ' ὡς τῶν ἀνθρώπων, ὧν τῇ σωτηρίᾳ φθονοῦσιν, ζημιουμένων τοῦ ἀγαθοῦ.

Οὐδὲ πλεονεξία αὐτοῖς ἁρμόττει κυρίως, εἰ μὴ ἡ ἄμετρος ἐπιθυμία τοῦ ἔχειν τι κτιστὸν ἀγαθόν, ἥτις τῇ ὑπερηφανίᾳ ἐμπεριέχεται. Καὶ ἡ ὀργὴ μεταφορικῶς ἐπ' αὐτῶν λέγεται, καὶ ἡ ἀκηδία. Μόνη δὲ ἡ ὑπερηφανία καὶ ὁ φθόνος, πνευματικὰ ὄντα ἁμαρτήματα, τοῖς δαίμοσιν οἰκεῖά εἰσιν, τοῦ φθόνου μὴ ὡς πάθους λαμβανομένου ἀλλ' ὡς τῆς θελήσεως τῷ ἑτέρου ἀγαθῷ χαυνουμένης. Ἕτερον δέ τινα τρόπον καὶ τὰ ἄλλα αὐτοῖς προσήκει, καθόσον ἐν τοῖς δυσὶ περιέχονται καὶ ἐξ ἐκείνων ἔχουσι τὴν ἀρχὴν ἅπαντα καὶ ἐν δαίμοσι καὶ ἐν ἀνθρώποις τὰ ἁμαρτήματα.

3. Ὅπως ὁ διάβολος ἐπεθύμησεν εἶναι ὥσπερ ὁ Θεός, θεός, ὡς ἐν τῷ Ἡσαΐᾳ ἐκ προσώπου αὐτοῦ εἴρηται· „Ἀναβήσομαι εἰς τὸν οὐρανὸν καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ". Δῆλον τοίνυν, ὡς οὐ κατ' ἰσότητα φύσεως· ἀδύνατον γὰρ ἂν ἦν· οὐδὲν γὰρ τῶν ἐν ταπεινοτέρῳ βαθμῷ δύναται

---

36 Is. 14, 13

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τάξεως | ἐπιθυμεῖν ὑψηλοτέρας τινὸς φύσεως· οὐ γὰρ ὁ ὄνος ἐπεθύμησεν f. 232v ἂν ἵππος γενέσθαι, διότι οὐκ ἂν λοιπὸν αὐτὸς ἦν· ἀλλ' ἐνίοτε ἀπατᾶται ἡ φαντασία ἐν ἀνθρώπῳ, καὶ διότι ἐφίεται ὁ ἄνθρωπος ἔν τινι μείζονι τάξει εἶναι κτησάμενος συμβεβηκότα τινὰ ἃ δύναται τούτῳ παρεῖναι χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, νομίζει δύνασθαι μείζονος φύσεως ἐπιθυμεῖν, εἰς ἣν οὐκ ἂν δύναιτο φθάσαι, μὴ πεπαυμένος τοῦ εἶναι. Ὁ δὲ Θεὸς ὑπεραίρει τὸν ἄγγελον οὐ συμβεβηκόσιν ἀλλὰ τῷ τῆς φύσεως βαθμῷ, καὶ εἷς ἄγγελος ἕτερον. Οὐ τοίνυν κατ' ἰσότητα, ἀλλὰ καθ' ὁμοιότητα ἐπεθύμησεν γενέσθαι ὥσπερ Θεός, καὶ τοῦτο οὐ καθὸ ἐπεφύκει ὁμοιωθῆναι, παρὰ Θεοῦ τοῦτο λαβὼν δηλαδή, καὶ εἰς ὅσον ἐπεφύκει ὁμοιοῦσθαι· οὐκ ἂν γὰρ ἡμάρτανεν ὁ τὸ ἁρμόττον τῇ φύσει ἐκ τῆς θείας χάριτος καὶ δυνάμεως προσδοκῶν, ἀλλὰ καθὸ μὴ ἐπεφύκει, ὅ ἐστιν ἁμάρτημα, ὡς εἴ τις ἐπεθύμησε δημιουργῆσαι ἂν οὐρανόν τε καὶ γῆν, ὅπερ ἴδιον τοῦ Θεοῦ. Ἠθέλησε δὲ οὕτως εἶναι θεός, οὐχ ὡς θέλων ὁμοιωθῆναι κατὰ τὸ μὴ ὑποτετάχθαι τινὶ ἁπλῶς· οὕτω γὰρ καὶ τοῦ μὴ εἶναι ὅλος ἐπεθύμησεν ἄν, διὰ τὸ μηδὲν κτίσμα εἶναι εἰ μὴ καθόσον τοῦ ὑπὸ τὸν Θεὸν εἶναι κοινωνεῖ· ἀλλ' ἢ ὅτι ἐπεθύμησεν ὡς ἐσχάτου τέλους τοῦ ἐφ' ὃ τῇ δυνάμει τῆς φύσεως ἠδύνατο φθάσαι, ἀποτρέψας τὴν ὄρεξιν τῆς ὑπερφυοῦς μακαριότητος, ἥ ἐστιν ἐκ τῆς χάριτος τοῦ Θεοῦ μόνης· ἢ ὅτι ἐπιθυμήσας τῆς ἀληθοῦς μακαριότητος, ἠθέλησε λαβεῖν τῇ δυνάμει τῆς ἑαυτοῦ φύσεως, οὐ τῇ θείᾳ βοηθείᾳ καὶ οἰκονομίᾳ, λαβὼν ἂν εἰ μὴ οὕτως ἐπεθύμησεν. Εἰς ταὐτὸν δὲ σχεδὸν περιήκει καὶ ἄμφω· ἑκατέρωθεν γὰρ τὸ ἴδιον λαβεῖν ἐπεθύμησε τοῦ Θεοῦ, εἴπερ τὸ καθ' αὑτὸ ἀρχή ἐστι τοῦ δι' ἄλλο καὶ αἴτιον. Ἐντεῦθεν ἠκολούθησεν αὐτῷ τὸ καὶ ἀρχὴν ἔχειν ὑπὲρ τὰ ἄλλα ἐπιθυμῆσαι.

4. Ὅτι οὐδεὶς τῶν δαιμόνων φύσει κακός. Πᾶσα γὰρ νοερὰ φύσις πρὸς τὸ καθόλου ἀγαθὸν τέτακται, ὃ δύναται καὶ νοεῖν καὶ ὃ τῆς θελήσεως ἀντικείμενον· οἱ δαίμονες δὲ νοεραὶ οὐσίαι εἰσίν· οὐκ ἄρα δύνανται φυσικὴν ῥοπὴν ἔχειν ἐπί τι κακόν, ὥστε οὐδ' εἶναι φύσει κακά, ἀλλὰ τῇ προαιρέσει μόνον.

5. Ὅτι ὁ διάβολος οὐκ ἐν τῷ πρώτῳ ἀτόμῳ τῆς παραγωγῆς ἥμαρτεν. Εἴρηται γάρ· „Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἦσαν καλὰ λίαν“· οὕτω δὲ ἦσαν καὶ οἱ δαίμονες· ἦσαν ἄρα ποτὲ ἀγαθοί. Καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται· | „Ἔπεσεν ὁ ἑωσφόρος ὁ τὸ πρωῒ ἀνατέλλων“· καὶ ἐν τῷ Ἰεζε- f. 233 κιήλ· „Ἐν τρυφῇ παραδείσου τοῦ Θεοῦ γέγονας“, ἐκ προσώπου βασιλέως Τύρου. Ἄλλως τε, ἐπειδὴ ἡ ἐνέργεια, ἡ ἅμα τῷ εἶναι τοῦ πράγματος ἀρξαμένη, ἐκ τοῦ κινοῦντος εἶναι αὐτῷ δοκεῖ παρ' οὗ καὶ τὸ εἶναι ἔχει, τὸ ἐν τῷ πρώτῳ ἀτόμῳ, ἐν ᾧ ἤρξατο ἐνεργεῖν, ἀσθενῆ ἔχον ἐνέργειαν

---

9 καθῶ A 32 Gen. 1, 31 34 Is. 14, 12 35 Ezech. 28, 13

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δῆλον ὅτι ἔχει τὸ εἶναι ἀπό τινος ἀσθενοῦς αἰτίας, ὥσπερ ἡ ἐκ τῆς τοῦ σπέρματος ἀσθενείας χωλὴ γενομένη κνήμη αὐτίκα γενομένη χωλαίνειν ἄρχεται· ὁ δὲ τοὺς ἀγγέλους εἰς τὸ εἶναι παραγαγὼν Θεὸς οὐ δύναται εἶναι αὐτοῖς αἴτιος ἁμαρτήματος. Ὅθεν ἀδύνατον τὸν διάβολον ἐν τῷ πρώτῳ ἀτόμῳ τῆς αὐτοῦ γενέσεως πονηρὸν γεγονέναι.

6. Ἐπεὶ δὲ λέγεται περὶ αὐτοῦ ἐν τῷ κατὰ Ἰωάννην, ὅτι· „Ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν", ὡς ἐν τῇ ἀληθείᾳ μὲν γεγονώς, οὐ μὴν διαμείνας δεῖ λέγειν, καὶ οὔτ' ἐν τῷ πρώτῳ ἀτόμῳ τῆς αὐτοῦ δημιουργίας ἥμαρτε διὰ τὰ εἰρημένα, οὔτε διατριβῆς γενομένης. Ἐπεὶ γὰρ ἐν χάριτι ἔκτισται, καὶ ἐν τῷ πρώτῳ ἀτόμῳ ἠδύνατο ἔχειν τὴν τοῦ αὐτεξουσίου ἐνέργειαν, ἠδύνατ' ἂν διὰ μιᾶς ἐνεργείας τῆς πρώτης, ἀξίας μισθοῦ, εἰς τὴν μακαριότητα ἐλθεῖν, ὡς εἴρηται καὶ περὶ τῶν ἀγγέλων, εἰ μὴ παρευθὺς κώλυμα ταύτῃ παρέσχεν ἁμαρτών, πολλῷ δὲ μᾶλλον, εἰ καὶ πλείων διατριβὴ ἐγεγόνει. Ὅθεν τὴν μέσην ἰοῦσιν ῥητέον ἂν εἴη, ὅτι ἐν τῷ πρώτῳ ἀτόμῳ τῆς παραγωγῆς πάντες ἐγένοντο ἀγαθοί, καὶ ἐν τούτῳ πάντες ἐνήργησαν νοερῶς οἰκείως τῷ εἶναι τῆς φύσεως, τουτέστιν ἐνέργειαν ἀγαθήν, ἣ λογίζεται τῇ φύσει καὶ τῷ πεποιηκότι, οὐ τῇ ἰδίᾳ προαιρέσει αὐτῶν· ἐν δὲ τῷ δευτέρῳ ἀτόμῳ διεκρίθησαν· οἳ μὲν γὰρ ὁμοίως ἐνήργησαν, καὶ λογισθείσης αὐτοῖς τῆς ἐνεργείας ὡς πρώτης ἀφ' ἑαυτῶν οὔσης, ἐβεβαιώθησαν ἐν τῇ εὐδαιμονίᾳ. Ὁ δὲ διάβολος κώλυμα τῇ βεβαιώσει παρέσχεν, φαύλως ἀρξάμενος ἐνεργεῖν, ὃ ἐλογίσθη ἀντὶ πασῶν αὐτοῦ τῶν μετὰ ταῦτα ἐνεργειῶν ὡς ὁμοίων ἐσομένων, ἅτε τοῦ ἀγγέλου ἔχοντος αὐτεξούσιον μετὰ τὴν αἵρεσιν ἀνεπίστροφον.

7. Ὅτι ὁ πρῶτος τῶν πεσόντων ἀγγέλων καὶ πάντων ἁπλῶς πρῶτος ἦν· τοῦτο γὰρ καὶ Γρηγορίῳ καὶ ἄλλοις διδασκάλοις δοκοῦν ἐνδοξότερόν
f. 233v ἐστιν. Καὶ ὅτι τὸ τοῦ ἀγγέλου ἁμάρτημα οὐκ ἔκ τινος εὐκολίας | εἰς τὸ ἁμαρτάνειν γεγονός, ἀλλ' ἔκ τινος μεγαλείου κεκινηκότος πρὸς ὑπερηφανίαν, ὅπερ ἐν τοῖς ὑψηλοτέροις ἐστίν, εὐλόγως πείθει φρονεῖν ἄκρον γεγονέναι τὸν πεπτωκότα. Καὶ ῥητὰ τῆς Γραφῆς τούτῳ συνηγορεῖ τῷ λόγῳ.

8. Ὅτι ἡ ἁμαρτία τοῦ πρώτου ἀγγέλου καὶ ἄλλοις αἰτία γέγονε τοῦ ἁμαρτεῖν, ὡς ἐν τῇ Ἀποκαλύψει λέγεται· „Καὶ ὁ δράκων εἵλκυσε μεθ' ἑαυτοῦ τὸ τρίτον μέρος τῶν ἄστρων"· οὐκ ἠνάγκασε δέ, ἀλλ' οἷον παρακινήσει τινὶ εἰς τοῦτο ἐνήγαγεν· σημεῖον δέ, ὅτι πάντες ἐκεῖνοι οἱ δαίμονες τῷ παρ' αὐτοῖς ἄκρῳ ὑπόκεινται, τὸ ἐν τῷ Ματθαίῳ εἰρημένον· „Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ". Ἔχει γὰρ τοῦτο ἡ θεία τάξις, ὡς ᾧ τις βοηθεῖν ἐν τοῖς κακοῖς εἵλετο, τούτῳ τιμωρηθησόμενον παραδίδοσθαι, ὡς ἐν τῷ δευτέρῳ τῆς Πέτρου δευτέρας· „Ὧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται".

---

6 Ioh. 8, 44    31 Apoc. 13, 4    34 Matth. 25, 41    38 II Pet. 2, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἐν ᾧ δὲ ἀτόμῳ ὁ πρῶτος ἄγγελος τὴν ἑαυτοῦ διάθεσιν τῇ νοερᾷ διαλέξει ἐξέφηνε, δυνατὸν ἦν τοὺς ἄλλους ταύτῃ συγκαταθέσθαι, καὶ οὐκ ἔδει χρόνου τριβῆς. Καὶ ἐπ' ἀνθρώπων γὰρ νῦν, ἅμα τις ἐν τῇ καρδίᾳ συλλαμβάνει τὸν λόγον καὶ διαλέγεσθαι ἄρχεται, καὶ οἱ ἀκούοντες ἐν τῷ ἀτόμῳ τῆς διαλέξεως, ἐν ᾧ τὸν τοῦ διαλεγομένου δέχονται νοῦν, κἂν μὴ ἔσχατον εἴη, ὃ γίνεται ἐπὶ τῶν ἀρχοειδῶν νοημάτων, ἅπερ τις ἀκουσθέντα δοκιμάζει, συγκατατίθεσθαι δύνανται.

9. Ὅτι πλείους τῶν ἁμαρτόντων οἱ διαμείναντες· τὸ γὰρ ἁμάρτημα παρὰ τὴν φυσικὴν ῥοπήν ἐστιν· τὰ δὲ παρὰ φύσιν ἐπ' ἔλαττον συμβαίνει. Ἡ γὰρ φύσις, ἢ ἀεί, ἢ ὡς ἐπὶ τὸ πλεῖστον τυγχάνει τοῦ οἰκείου ἀποτελέσματος, ὡς ἐν ὀγδόῳ τῆς πρὸς Ῥωμαίους· „Πλείους εἰσὶν οἱ μεθ' ἡμῶν ἢ οἱ μετ' ἐκείνων", ὃ νοεῖται περὶ τῶν ἀγαθῶν ἀγγέλων βοηθούντων ἡμῖν καὶ περὶ τῶν πονηρῶν ἐναντιουμένων ὡσαύτως ἡμῖν.

## LXIV. — Περὶ τῆς τῶν δαιμόνων τιμωρίας.

1. Ὅτι ὁ τοῦ δαίμονος νοῦς οὐ πάσης ἀληθείας στερήσει ἐσκότισται. Φησὶ γὰρ ὁ Διονύσιος, ὅτι „τὰ ἀγγελικὰ δῶρα τὰ τοῖς δαίμοσι διδομένα μηδέποτε μεταβεβλῆσθαί φαμεν, ἀλλ' ἀκέραια εἶναι"· ἐν δὲ τοῖς φυσικοῖς δώροις καὶ ἡ τῆς ἀληθείας γνῶσίς ἐστιν.

Ἔτι, διπλῆ ἐστιν ἡ τῆς ἀληθείας γνῶσις, ἥ τε διὰ τῆς χάριτος καὶ ἡ διὰ τῆς φύσεως. Καὶ ἡ διὰ τῆς χάριτος αὖ διπλῆ· ἡ μέν, θεωρητικὴ μόνον, ὡς ὅταν τις τινὰ τῶν θείων ἀποκαλύπτηται· ἡ δέ, | μετὰ διαθέ- f. 234
σεως προάγουσα τὸν τοῦ Θεοῦ ἔρωτα· καὶ τοῦτο ἰδίως τοῦ τῆς σοφίας ἐστὶ χαρίσματος. Τούτων δὲ τῶν τριῶν γνώσεων ἡ μὲν πρώτη οὔτε ἀφῄρηται οὔτε ἠλάττωται ἐν τοῖς δαίμοσιν· ἕπεται γὰρ τῇ φύσει αὐτοῦ, ὃς τῇ φύσει νοῦς ἐστιν ἢ νόησις, καὶ διὰ τὴν ἁπλότητα τῆς οὐσίας αὐτοῦ οὐ δυνατὸν ἀφαιρεθῆναί τι αὐτοῦ, ἵν' οὕτω τῇ τῶν φυσικῶν ἀφαιρέσει κολάζηται, ὥσπερ τὸν ἄνθρωπον οὐχ ἁπλοῦν ὄντα κολάζεσθαι δυνατὸν τῇ τῶν χειρῶν ἢ ποδῶν ἀφαιρέσει, ἤ τινος τῶν τοιούτων. Ἡ δὲ διὰ τῆς χάριτος γνῶσις, ἡ ἐν τῇ θεωρίᾳ ὑφεστῶσα, οὐ παντελῶς τούτων ἀφῄρηται, ἀλλὰ μόνον ἠλάττωται· τῶν γὰρ θείων μυστηρίων τινὰ τούτοις ἐγκαίρως ἀποκαλύπτονται ἢ τῶν ἀγγέλων μεσιτευόντων, ἢ διά τινων χρονικῶν τῆς θείας δυνάμεως ἀποτελεσμάτων. Τῆς δὲ τρίτης παντάπασιν ἐστέρηνται, ὥσπερ καὶ τῆς ἀγάπης. Ὅτι καὶ τὰ θεῖα μυστήρια οὐ τελείως γινώσκουσιν, δῆλον ἐξ οὗ φησιν Αὐγουστῖνος, „ὅτι εἰ τελείως ἐγίνωσκον τὸν Χριστὸν υἱὸν εἶναι Θεοῦ καὶ τὰ ἐκ τοῦ πάθους ἀκολουθήσοντα, οὐκ ἂν ἐσταύρωσαν", οὐδ' ἂν τὴν ἀρχὴν ἐβουλεύσαντο σταυρῶσαι.

2. Ὅτι ἡ τῶν δαιμόνων θέλησις παντάπασιν ἐν τῷ πονηρῷ κεκρά-

---

11 IV Reg. 6, 16 (non Rom. 8, comme le dit A)

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τηται, ὡς ἐν Ψαλμοῖς λέγεται· „Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντός“, ὃ περὶ τῶν δαιμόνων νοεῖται.

Ἰστέον γὰρ ὅτι καὶ ἡ τῶν ἀγαθῶν θέλησις ἀγγέλων ἐν τῷ ἀγαθῷ ἀμετακινήτως ἐστὶν ἱδρυμένη καὶ ἡ τῶν δαιμόνων, παντάπασιν ἐνισχημένη τῷ πονηρῷ, οὗ τοὐναντίον Ὠριγένης ἐφρόνησεν, ἐφ' ἑκάτερα χρόνῳ μεταβάλλεσθαι τὴν θέλησιν ὑποθέμενος διὰ τὸ αὐτεξούσιον, ὅπερ ὡς αἱρετικὸν ἀπεδοκιμάσθη. Τὸ δὲ ἀληθές ἐστιν, ὅτι ἀκινήτως ἔχουσιν ἐν ἀμφοῖν αἱ θελήσεις. Αὐτίκα γὰρ περὶ τῶν πονηρῶν ὅπερ τοῖς ἀνθρώποις ὁ θάνατος, τοῦτο αὐτοῖς τὸ πτῶμα· τὰ δὲ πρὸς θάνατον ἁμαρτήματα τοῦ ἀνθρώπου πρὸ μὲν τοῦ θανάτου συγγνωστά, μετὰ δὲ τὸν θάνατον ἀσύγγνωστα. Καὶ λόγος τῆς διηνεκοῦς τυφλώσεως ἐν τοῖς δαίμοσιν, ὅτι ἡ τῶν χωριστῶν οὐσιῶν βούλησις πέπηγεν ἀκινήτως· καὶ πρὸ μὲν τοῦ ἅψασθαι θεωρουμένη, ἐλευθέρως δύναται ἅψασθαι καὶ τοῦδέ τινος καὶ τοῦ ἀντικειμένου, ἐν οἷς δηλονότι μὴ φύσει θέλει· μετὰ δὲ τὸ ἅψασθαι ἀκινήτως ἔχεται.
f. 234v Οὕτως οὖν καὶ οἱ ἀγαθοὶ ἀεὶ ἔχονται τῆς δικαιοσύνης, ἐν αὐτῇ | ἱδρυμένοι, καὶ οἱ πονηροὶ ἁμαρτόντες τῇ ἁμαρτίᾳ τετύφλωνται, καὶ ἀμετανοήτως δὲ ἁμαρτάνει ὁ δαίμων ὅσον πρὸς τὴν ἔφεσιν, εἰ καὶ μὴ ὅσον πρὸς τὸ πιστεύειν δύνασθαι τυχεῖν οὐ ἐπεθύμησεν.

Εἰ δὲ καί ποτε ἀγαθόν τι ποιεῖ ὁ δαίμων, ἀλλ' οὐ καλῶς τοῦτο ποιεῖ· ἢ γὰρ ἵνα ἀπατήσῃ, ἢ ἀναγκαζόμενος, ὡς ὅταν οὐχ ἑκουσίως πιστεύῃ ἢ ὁμολογῇ, ἀλλὰ τῷ φανερῷ τῶν πραγμάτων ἀναγκαζόμενος. Ἀλλὰ καὶ τῇ ἀγαθῇ τῆς φύσεως ἐνεργείᾳ, δι' ἧς μαρτυρεῖται τὸ τῆς φύσεως ἀγαθόν, εἰς τὸ κακὸν ἀποκέχρηται, ὥστε παντάπασιν ἡ θέλησις αὐτοῦ κεκράτηται ἐν τῷ πονηρῷ.

3. Ὅτι ἀλγοῦσιν οἱ δαίμονες, τουτέστιν ἀλγηδόσι πένθους κολάζονται ὡς οἱ ἄνθρωποι. Καθὸ γάρ εἰσι πάθη, ὅ τε φόβος καὶ ἡ ἀλγηδὼν καὶ ἡ χαρὰ οὐχ εὑρίσκονται ἐν αὐτοῖς, οὕτω τοῦ αἰσθητικοῦ ὄντα ἐφέσεις καὶ ὅπου ἐστὶν ὄργανον σωματικόν· ἀλλὰ καθὸ ἁπλᾶς ἐνεργείας σημαίνουσι θελήσεως. Θέλουσι γὰρ πολλὰ τῶν ὄντων μὴ εἶναι, καὶ τῶν μὴ ὄντων εἶναι, οἷον καταδικασθῆναι τοὺς σῳζομένους θέλουσι, καὶ ἀλγοῦσι μὴ γινομένου· καὶ τῆς φύσει ἐφετῆς στεροῦνται μακαριότητος, καὶ ἐν πολλαῖς κωλύεται ἡ τούτων ἄνομος θέλησις.

Εἰ δὲ τὸ ἐπὶ τῷ κακῷ ἀλγεῖν ἀγαθόν ἐστιν, [οἷον ἀγαθὸν ποιεῖν οὐ δύνανται· τὸ γὰρ ἀλγεῖν ἐπὶ τῷ τῆς τιμωρίας κακῷ συνειδότος ἐστὶν ἀγαθοῦ·] ἀλλ' ἰστέον, ὅτι τὸ ἀλγεῖν ἐπὶ τῷ τῆς τιμωρίας κακῷ διὰ τὴν ἁμαρτίαν ἀγαθῆς ἐστι συνειδήσεως· τὸ δὲ διὰ τὴν τιμωρίαν ἀλγεῖν ἐπ' αὐτῇ,

---

**1** Ps. 73, 23 **5** *ἑκάτερα*, peut-être *ἑκάτερον* A **33-35** Les mots mis entre crochets paraissent être une première rédaction abrégée et fautive, que Scholarios a oublié d'effacer

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἢ τῇ ἁμαρτίᾳ, μαρτύριόν ἐστι τοῦ ἐν τῇ φύσει ἀγαθοῦ, ᾧ τὸ τῆς τιμωρίας κακὸν ἀντίκειται. Ὁ δαίμων δέ, διεστραμμένης καὶ τετυφλωμένης θελήσεως ὤν, οὐκ ἀλγεῖ κολαζόμενος ἐπὶ τῷ τῆς ἁμαρτίας κακῷ διὰ τὴν τοῦ ἀγαθοῦ ἀποβολήν, ἀλλ' ὡς τῆς πονηρᾶς αὐτοῦ θελήσεως μὴ δυνηθείσης ἀτιμωρήτως ἀπαλλαγῆναι.

4. Ὅτι ὁ ἀὴρ οὗτος, τόπος καταδίκης τοῖς δαίμοσιν. Οὕτω γάρ φησιν Αὐγουστῖνος, ὅτι „ὁ ἀχλυώδης ἀὴρ ἐστιν εἱρκτὴ τοῖς δαίμοσι μέχρι τοῦ καιροῦ τῆς κρίσεως“. Καὶ ὁ λόγος, ὅτι διπλοῦς αὐτοῖς τῆς κολάσεως ἡτοίμασται τόπος ἐκ Θεοῦ· τῷ μὲν λόγῳ τῆς αὐτῶν ἁμαρτίας, ὁ ᾅδης· τῷ δὲ λόγῳ τῆς τῶν πιστῶν γυμνασίας, ὁ ἀχλυώδης ἀήρ. Τὸ γὰρ ἀνθρώπινον ἀγαθὸν καὶ διὰ τῶν ἀγγέλων τῶν ἀγαθῶν ὑπὸ τῆς θείας διοικεῖται προνοίας ἄντικρυς, ἐναγόντων μὲν εἰς τὸ ἀγαθόν, ἀφελκόντων δὲ | τοῦ πονηροῦ· καὶ πλαγίως, διὰ τῶν πονηρῶν γυμναζομένων τῶν ἀν- f. 235
θρώπων, καὶ διὰ τῆς πρὸς τὸ ἐναντίον μάχης καλῶς κηδομένου τοῦ Θεοῦ ἵνα μὴ διὰ τῆς ἁμαρτίας παντελῶς ἀποπέσωσι τοῦ πρὸς τὴν φυσικὴν τάξιν χρησίμου. Τῆς οὖν περὶ τὸν ἄνθρωπον τοιαύτης προνοίας μέχρι τῆς κρίσεως ἐκτεινομένης, ἕως τότε ἐπιμένει ἥ τε τῶν ἀγαθῶν ἀγγέλων διακονία καὶ ἡ διὰ τῶν πονηρῶν γυμνασία. Καὶ οἱ μὲν ἀποσταλήσονται τοῖς ἀνθρώποις, οἱ δὲ τὴν ὁμίχλην ἕξουσι τόπον. Ἀλλ' ὥσπερ καὶ νῦν εἰσι καὶ ἐν οὐρανῷ ἄγγελοι ἀγαθοὶ μετὰ τῶν ἁγίων ψυχῶν, οὕτω καὶ ἐν ᾅδῃ τινὲς τῶν πονηρῶν πρὸς τὸ κολάζειν οὓς εἰς τὸ κακὸν ἐνήγαγον. Μετὰ δὲ τὴν ἡμέραν τῆς κρίσεως, οἱ πονηροὶ καὶ ἄγγελοι καὶ ἄνθρωποι πάντες ἐν ᾅδῃ ἔσονται, ὥσπερ καὶ οἱ ἀγαθοὶ ἐν τῷ οὐρανῷ πάντες.

Ὃ δέ τινες λέγουσι, τὴν μετ' αἰσθήσεως κόλασιν τῶν δαιμόνων καὶ τῶν ψυχῶν καὶ τὴν μακαριότητα τῶν ἁγίων ἀναβεβλῆσθαι μέχρι τῆς ἡμέρας τῆς κρίσεως, κακῶς λέγουσιν καὶ ἐναντίως τῇ γραφικῇ ἀποφάσει. Ὁ γὰρ Ἀπόστολός φησιν· „Ἐπιθυμῶ ἀναλῦσαι καὶ συνεῖναι Χριστῷ“, ὡς ἀμέσως ἑπομένου τῷ ἀναλῦσαι τοῦ συνεῖναι Χριστῷ· εἰκῇ δὲ οὐκ ἂν ἐπεθύμει· καὶ αὖθις· „Ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκίαν ἔχομεν ἐν οὐρανοῖς“· ἑτέρας δὲ μονῆς μέσης οὐ μέμνηται. Περὶ μὲν οὖν τῶν ἀνθρωπίνων ψυχῶν σαφές ἐστιν ἐκ τούτων καὶ πολλῶν ἄλλων λογίων ἢ εἰς τὸν οὐρανὸν τὰς ἀξίας ἀναλαμβάνεσθαι, ἢ εἰς τὴν κόλασιν κατασπᾶσθαι, αἷς ὁ τόπος ἐκεῖνος ἐκ τῆς θείας ἀποδίδοται δικαιοσύνης, ἐπειδὰν τελειωθῶσι, τουτέστι τὰ σώματα ἀναλάβωσιν ἐν τῇ ἀναστάσει, καὶ τὴν τοῖς σώμασιν ὀφειλομένην δίκην ἐκ προσθήκης ἀποτίνειν μελλούσας. Περὶ δὲ τῶν ἀγαθῶν ἀγγέλων καὶ τῶν δαιμόνων, δι' ὧν ἡ περὶ τὸν ἄνθρωπον κηδεμονία πληροῦται ἐν τῇ ζωῇ ταύτῃ, εἰδέναι δεῖ, ὅτι ἡ δόξα τῶν ἀγαθῶν οὐκ ἐλαττοῦται πρὸς ἡμᾶς ἐρχομένων· θεωροῦσι γὰρ ἑαυτῶν ὄντα

---

27 Phil. 1, 23   28 *εἰκῇ* corrigé de *εἰ μὴ* A   29 II Cor. 5, 1

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τὸν τόπον ἐκεῖνον· οὐδὲ γὰρ ἡ τοῦ ἐπισκόπου ἐλαττοῦται τιμή, παραδείγματος χάριν, ὅταν μὴ ἐπιμάθηται ἐνεργείᾳ τῷ οἰκείῳ θρόνῳ. Καὶ οἱ δαίμονες δὲ ὁμοίως, εἰ καὶ μὴ ἐνεργείᾳ δέοιντο τῷ τῆς γεέννης πυρί, ἐφόσον ἐν τῷ ὁμιχλώδει ἀέρι εἰσίν, ἀλλὰ τῷ γινώσκειν ὀφείλεσθαι αὐτοῖς f. 235ᵛ τὸν τοιοῦτον δεσμὸν ἱκανῶς τιμωροῦνται, | ὥσπερ τὸ τῆς γεέννης πῦρ περιφέροντες. Εἰ δὲ ἐζήτησαν μὴ ἀποσταλῆναι εἰς τὴν ἄβυσσον, ὡς ἐν τῷ κατὰ Λουκᾶν λέγεται, ἐνόμιζον τιμωρίαν ἑαυτοῖς εἶναι, εἰ ὑπερορίζοιντο τοῦ τόπου, ἐν ᾧ βλάπτειν δύνανται τοὺς ἀνθρώπους. Ὅθεν ἐν τῷ πέμπτῳ τοῦ κατὰ Ματθαῖον ἐναργέστερον παρεκάλουν, ἵνα μὴ ἀπελάσῃ αὐτοὺς ἔξω τῶν ὁρίων.

## Traité de la création corporelle.

### LXV. — Περὶ τῆς δημιουργίας τῆς σωματικῆς κτίσεως.

1. Ὅτι καὶ ἡ σωματικὴ κτίσις ἐκ Θεοῦ δεδημιούργηται, ὡς ἐν Ψαλμοῖς λέγεται· „Ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς“.

Αἱρετικῶν δέ τινων γέγονε δόξα τὰ ὁρατὰ κτίσματα ἐξ ἀρχῆς ἑτέρας πονηρᾶς δημιουργηθῆναι, ἠπατημένων τῷ ῥητῷ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ λέγοντος· „Ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰς διανοίας τῶν ἀπίστων“. Ἀδύνατον δὲ τοῦτο. Εἰ γάρ τινα διάφορα καθ' ἓν ἑνοῖντο, ἐπεὶ ἀδύνατον ἑνοῦσθαι καθ' ἑαυτά, δεῖ εἶναί τινα αἰτίαν μίαν, ἀφ' ἧς δέχονται ἐκεῖνο τὸ ἕν, ὥσπερ τὰ διάφορα θερμὰ σώματα ἔχουσιν ἀπὸ τοῦ πυρὸς τὴν θέρμην. Ἀλλ' ἐν πᾶσι πράγμασι κἂν ὁπόσον ᾖ διάφορα, αὐτὸ τὸ εἶναι οἰκείως εὑρίσκεται· ἀνάγκη τοίνυν αὐτοῦ μίαν ἐν πᾶσιν εἶναι ἀρχήν, ἀφ' ἧς ἕξουσι τὸ εἶναι πάντα τὰ ὁπωσοῦν ὄντα, εἴτε ὁρατά, εἴτε ἀόρατα, καὶ εἴτε σωματικά, εἴτε ἀσώματα.

Λέγεται δὲ ὁ διάβολος θεὸς εἶναι τοῦ αἰῶνος τούτου οὐ τῷ δημιουργῆσαι, ἀλλ' ὅτι οἱ κοσμικῶς ζῶντες αὐτῷ ζῶσιν, ὃν τρόπον καὶ ἐν τῇ πρὸς Φιλιππησίους λέγεται· „Ὧν θεὸς ἡ κοιλία“.

Εἰ δὲ δοκεῖ τισιν, ὅτι τὰ σωματικὰ κτίσματα ἀφέλκουσιν ἀπὸ τοῦ Θεοῦ, κατὰ τὸ ἐν τῇ πρὸς Κορινθίους· „Μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα“, ἀλλὰ ὅσον τὸ ἐπ' αὐτοῖς, οὐκ ἀφέλκουσιν, ἄγουσι μὲν οὖν εἰς αὐτόν· „Τὰ γὰρ ἀόρατα τοῦ Θεοῦ, τοῖς ποιήμασι νοούμενα, καθορᾶται“, ὡς ἐν τῇ πρὸς Ῥωμαίους φησὶν ὁ Ἀπόστολος, ἀλλὰ διὰ τὴν ἁμαρτίαν γίνεται τοῦτο τῶν ἀφρόνως αὐτοῖς χρωμένων. Ὅθεν ἐν τῷ δεκάτῳ τετάρτῳ τῆς Σοφίας λέγεται, ὅτι· „Τὰ κτίσματα εἰς παγίδα γεγόνασι τοῖς τῶν ἀφρόνων

---

9 Matth. 8, 31 16 Ps. 145, 6 20 II Cor. 4, 4 30 Phil. 3, 19
32 II Cor. 4, 18 34 Rom. 1, 20 37 Sap. 14, 11

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006